σοφιστική, οὐκ ἐν τῇ δυνάμει ἀλλ' ἐν τῇ προαιρέσει· πλὴν ἐν-
ταῦθα μὲν ἔσται ὁ μὲν, κατὰ τὴν ἐπιστήμην. ὁ δὲ, κατὰ τὴν προ-
αίρεσιν ῥήτωρ· ἐκεῖ δὲ, σοφιστὴς μὲν, κατὰ τὴν προαίρεσιν.
διαλεκτικὸς δὲ, οὐ κατὰ τὴν προαίρεσιν ἀλλὰ κατὰ τὴν δύ-
ναμιν: Περὶ δὲ αὐτῆς ἤδη τῆς μεθόδου πειρώμεθα λέγειν,
πῶς τε καὶ ἐκ τίνων δυνησόμεθα τυγχάνειν τῶν προκειμένων.
Πάλιν οὖν οἷον ἐξ ὑπαρχῆς ὁρισάμενοι αὐτὴν τίς ἐστι, λέγωμεν

rhetorica quid.

τὰ λοιπά. Ἔστω δὴ ῥητορική, δύναμις [facultas] περὶ ἕκαστον τοῦ θε-
ωρῆσαι τὸ ἐνδεχόμενον πιθανόν. τοῦτο γὰρ οὐδεμιᾶς ἑτέρας
ἐστὶ τέχνης ἔργον· τῶν γὰρ ἄλλων ἑκάστη περὶ τὸ αὑτῇ ὑπο-
κείμενόν ἐστι διδασκαλικὴ καὶ πειστική· οἷον ἰατρικὴ περὶ ὑγι-
εινῶν καὶ νοσερῶν· καὶ γεωμετρία περὶ τὰ συμβεβηκότα πά-
θη τοῖς μεγέθεσι· καὶ ἀριθμητικὴ περὶ ἀριθμῶν· ὁμοίως
δὲ καὶ αἱ λοιπαὶ τῶν τεχνῶν καὶ ἐπιστημῶν· ἡ δὲ ῥητορική,
περὶ τοῦ δοθέντος ὡς εἰπεῖν, δοκεῖ δύνασθαι θεωρεῖν τὸ πι-
θανόν. διὸ καί φαμεν αὐτὴν οὐ περί τι γένος ἴδιον ἀφωρισμέ-
νον ἔχειν τὸ τεχνικόν. Τῶν δὲ πίστεων, αἱ μὲν ἄτεχνοί εἰσιν.
αἱ δ' ἔντεχνοι. ἄτεχνα δὲ λέγω, ὅσα μὴ δι' ἡμῶν πεπόρισται.
ἀλλὰ προϋπῆρχεν· οἷον μάρτυρες· βάσανοι· συγγραφαὶ
καὶ ὅσα τοιαῦτα. ἔντεχνα δὲ ὅσα διὰ τῆς μεθόδου καὶ δι'
ἡμῶν κατασκευασθῆναι δυνατόν· ὥστε δεῖ τούτων, τοῖς μὲν

Tria sunt que persuadent.
Auctoritas dicentis.
oratio: que commouet animos.
ratio: que demonstrare videtur.

χρήσασθαι. τὰ δὲ εὑρεῖν. Τῶν δὲ διὰ τοῦ λόγου ποριζομένων
πίστεων, τρία εἴδη ἐστίν· αἱ μὲν γάρ εἰσιν ἐν τῷ ἤθει τοῦ λέ-
γοντος· αἱ δὲ ἐν τῷ, τὸν ἀκροατὴν διαθεῖναί πως· αἱ δὲ
ἐν αὐτῷ τῷ λόγῳ, διὰ τοῦ δεικνύναι, ἢ φαίνεσθαι δεικνύναι.
Διὰ μὲν οὖν τοῦ ἤθους, ὅταν οὕτω λεχθῇ, ὁ λόγος, ὥστε ἀξιόπιστον
ποιῆσαι τὸν λέγοντα· τοῖς γὰρ ἐπιεικέσι πιστεύομεν μᾶλλον
καὶ θᾶττον· περὶ πάντων μὲν ἁπλῶς· ἐν οἷς δὲ τὸ ἀκριβὲς
μὴ ἔστιν, ἀλλὰ τὸ ἀμφιδοξεῖν, καὶ παντελῶς· δεῖ δὲ καὶ

http://digital.slub-dresden.de/ppn346251060/11